τοῦ ζῆν μετέστησεν. ὑστέρῳ γε μὴν χρόνῳ δίκας ἔδοσαν
οἱ Λακεδαιμόνιοι· ἐπειδὴ γὰρ τῶν Ἑλλήνων ἁπάντων
ἦρχον καὶ τὰς πόλεις φρουραῖς κατειλήφεσαν, Ἐπαμει-
νώνδας ὁ Θηβαῖος πρῶτον μὲν τὴν παρ' αὐτῷ φρουρὰν
ἀπέσφαξε· Λακεδαιμονίων δ' ἐπὶ τούτῳ πόλεμον ἐξενεγ-
C κάντων, ἀπήντων οἱ Θηβαῖοι ἐπὶ τὰ Λεῦκτρα, αἰσιούμενοι
τὸ χωρίον, ὅτι καὶ πρότερον ἐνταῦθα ἠλευθερώθησαν,
ὅτε Ἀμφιτρύων ὑπὸ Σθενέλου φυγὰς ἐλαθεὶς εἰς τὴν Θη-
βαίων ἀφίκετο πόλιν καὶ Χαλκιδεῦσιν ὑποφόρους λαβὼν
ἔπαυσε τὸν δασμόν, Χαλκώδοντα τὸν βασιλέα τῶν
Εὐβοέων ἀποκτείνας. συνέβη δὲ Λακεδαιμονίων ἧτταν
παντελῆ γενέσθαι περὶ αὐτὸ τὸ μνῆμα τῶν Σκεδάσου
θυγατέρων. φασὶ δὲ πρὸ τῆς μάχης Πελοπίδᾳ, ἑνὶ τῶν
στρατηγῶν τοῦ Θηβαϊκοῦ στρατεύματος, ἐπὶ σημείοις
τισὶν οὐ καλοῖς κρινομένοις θορυβουμένῳ Σκέδασον
ἐπιστῆναι κατὰ τοὺς ὕπνους, θαρρεῖν κελεύοντα· παρα-
D γίνεσθαι γὰρ εἰς Λεῦκτρα Λακεδαιμονίους αὐτῷ τε καὶ
ταῖς θυγατράσι δώσοντας δίκας· πρὸ μιᾶς δ' ἡμέρας ἢ
συμβαλεῖν τοῖς Λακεδαιμονίοις πῶλον ἐκέλευεν ἵππου
λευκὸν ἕτοιμον παρὰ τῷ τάφῳ τῶν παρθένων σφα-
γιάσασθαι. τὸν δὲ Πελοπίδαν, ἔτι τῶν Λακεδαιμο-
νίων στρατευομένων ἐν Τεγέᾳ, εἰς Λεῦκτρα πέμψαι
τοὺς ἐξετάσοντας περὶ τοῦ τάφου τούτου, καὶ πυθόμενον
παρὰ τῶν ἐγχωρίων θαρροῦντα τὴν στρατιὰν ἐξαγαγεῖν
καὶ νικῆσαι.